Οἰκουμενικὸν Πατριαρχεῖον

**Ἱερά Μητρόπολη Γαλλίας**

Patriarcat Œcuménique

**Métropole Grec-Orthodoxe de France**

# Κυριακάτικο δελτίο

**12η Σεπτεμβρίου 2021**

# Bulletin du dimanche

**12 septembre 2021**

## Κυριακὴ πρὸ τῆς Ὑψώσεως



## Dimanche avant la Croix

***Ἀπόδοσις τῆς Ἑορτῆς τῶν Γενεθλίων τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας***

***Clôture de la fête de la Nativité de la Mère de Dieu***

| **Α΄ Ἑωθινὸν Εὐαγγέλιον (Μτθ κη΄ 16-20)** | **1er Evangile des Matines (Mt XXVIII, 16-20)** |
|---|---|

| **Καταβασίαι τοῦ Σταυροῦ** | **Katavassia de la Croix** |
|---|---|
| **Σ**ταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται. | **T**raçant avec son bâton une croix, Moïse divisa la mer Rouge pour laisser passer Israël à pied sec, puis la referma sur les chars de Pharaon, figurant ainsi l'arme invincible; aussi chantons le Christ notre Dieu, car Il s'est couvert de gloire. |
| **Ῥ**άβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα· τῇ στειρευούσῃ δὲ πρῴην Ἐκκλησίᾳ νῦν ἐξήνθησε ξύλον Σταυροῦ, εἰς κράτος καὶ στερέωμα. | **F**igurant le mystère, le bâton qui fleurit désigne comme prêtre Aaron; de même dans l'Église jadis stérile, fleurit l'arbre de la Croix, sa force et son soutien. |
| **Ε**ἰσακήκοα Κύριε, τῆς οἰκονομίας Σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα Σου, καὶ ἐδόξασά Σου τὴν θεότητα. | **J**'ai entendu, Seigneur, le mystère de ton dessein de salut, j'ai considéré tes œuvres et j'ai glorifié ta Divinité. |
| **Ὢ** τρισμακάριστον ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ Βασιλεὺς καὶ Κύριος· δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας τῷ ἐν σοί, δελεασθεὶς Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν. στερέωμα δεδόξασται. | **Ô** bois de la croix trois fois bienheureux sur lequel le Christ, Roi et Seigneur, a été étendu ; trompé par toi, celui qui a séduit par le bois, est tombé, Dieu ayant été cloué sur toi dans sa chair, Lui qui donne la paix à nos âmes. |

| **Ἀπολυτίκιον Ἀναστάσιμον** | **Tropaire de la Résurrection** |
|---|---|
| **Ε**ὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι Αὐτοῦ, ὁ Κύριος, ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος. | **Q**ue les cieux se réjouissent, que la terre soit dans l'allégresse. Car le Seigneur a déployé la force de son bras, par la mort Il a terrassé la mort, et s'est fait le premier-né d'entre les morts. Il nous a délivrés des entrailles des enfers et Il a accordé au monde la grande miséricorde. |

| **Ἀπολυτίκιον τῆς Ἑορτῆς** | **Tropaire de la Fête** |
|---|---|
| **Ἡ** γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον. | **T**a nativité, Vierge Mère de Dieu, a annoncé la joie au monde entier, car de toi s'est levé le Soleil de justice, le Christ notre Dieu; Il a détruit la malédiction et donné la bénédiction, Il a aboli la mort et nous a donné la vie éternelle. |

## Κοντάκιον

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν, Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου· αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι· Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

## Kondakion

En ta sainte Nativité, ô Très-pure, Joachim et Anne ont été délivrés de l'opprobre de la stérilité, et Adam et Ève de la corruption de la mort. Délivré de la condamnation pour ses péchés, ton peuple célèbre ta Nativité et te clame : "La femme stérile enfante la Mère de Dieu qui nourrit notre vie."

## Ἀπόστολος Γα (*ς΄ 11-18*)

**Ἀ**δελφοί, ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται· οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται. Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τις ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις. Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ᾽αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί· ἀμήν.

## Epître Ga (*VI, 11-18*)

**F**rères, voyez avec quelles grandes lettres je vous ai écrit de ma propre main. Tous ceux qui veulent se rendre agréables selon la chair vous contraignent à vous faire circoncire, uniquement afin de n'être pas persécutés pour la croix de Christ. Car les circoncis eux-mêmes n'observent point la loi ; mais ils veulent que vous soyez circoncis, pour se glorifier dans votre chair. Pour ce qui me concerne, loin de moi la pensée de me glorifier d'autre chose que de la croix de notre Seigneur Jésus Christ, par qui le monde est crucifié pour moi, comme je le suis pour le monde! Car ce n'est rien que d'être circoncis ou incirconcis ; ce qui est quelque chose, c'est d'être une nouvelle créature. Paix et miséricorde sur tous ceux qui suivront cette règle, et sur l'Israël de Dieu! Que personne désormais ne me fasse de la peine, car je porte sur mon corps les marques de Jésus. Frères, que la grâce de notre Seigneur Jésus Christ soit avec votre esprit! Amen!

## Εὐαγγέλιον κατὰ Ἰωάννην (*γ΄ 13-17*)

**E**ἶπεν ὁ Κύριος· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. Καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς Αὐτὸν μὴ ἀπόληται ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν Αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς Αὐτὸν μὴ ἀπόληται ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν Αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ᾽ ἵνα σωθῇ ὁ κόσμος δι᾽ Αὐτοῦ.

## Evangile Jn (*III 13-17*)

**J**ésus dit: Personne n'est monté au ciel, si ce n'est celui qui est descendu du ciel, le Fils de l'homme qui est dans le ciel. Et comme Moïse éleva le serpent dans le désert, il faut de même que le Fils de l'homme soit élevé, afin que quiconque croit en lui ait la vie éternelle. Car Dieu a tant aimé le monde qu'il a donné son Fils unique, afin que quiconque croit en lui ne périsse point, mais qu'il ait la vie éternelle. Dieu, en effet, n'a pas envoyé son Fils dans le monde pour qu'il juge le monde, mais pour que le monde soit sauvé par lui.

**Ἡ Ἱερὰ Μητρόπολις Γαλλίας σᾶς εὐχαριστεῖ γιὰ τὴν ἐνίσχυση τοῦ ἔργου της.**

**La Métropole Grec-Orthodoxe de France vous remercie pour votre soutien.**

**IBAN** FR96 3000 2004 4200 0000 6973 E28

**METROPOLE GREC-ORTHODOXE DE FRANCE & EXARCHAT DU PATRIARCAT OECUMENIQUE**

7, rue Georges Bizet 75116 PARIS

tél. +33 (0)1 47 20 82 35

eglise.orthodoxe.grecque@gmail.com ‖ *www.mgro.fr*